**Grieks (nieuwe stijl en oude stijl)**

# Examen VWO

Voorbereidend
Wetenschappelijk
Onderwijs

20**02**

Tijdvak 2
Woensdag 19 juni
9.00 –12.00 uur

**Tekstboekje**



Beschikbaar gesteld door Stichting Studiebegeleiding Leiden (SSL).
Voor alle eindexamens, zie www.alleexamens.nl. Voor de perfecte voorbereiding op je eindexamen, zie www.sslleiden.nl.

## Tekst 1

Μετὰ δὲ Σόλωνα οἰχόμενον ἔλαβε ἐκ θεοῦ νέμεσις μεγάλη Κροῖσον, ὡς εἰκάσαι, ὅτι ἐνόμισε ἑωυτὸν εἶναι ἀνθρώπων ἁπάντων ὀλβιώτατον. αὐτίκα δέ οἱ εὕδοντι ἐπέστη ὄνειρος, ὅς οἱ τὴν ἀληθείην ἔφαινε τῶν μελλόντων γενέσθαι κακῶν κατὰ τὸν παῖδα. ἦσαν δὲ τῷ Κροίσῳ δύο παῖδες, τῶν οὕτερος μὲν διέφθαρτο, - ἦν γὰρ δὴ κωφός-, ὁ δὲ ἕτερος τῶν ἡλίκων μακρῷ τὰ πάντα πρῶτος· οὔνομα δέ οἱ ἦν Ἄτυς. τοῦτον δὴ ὦν τὸν Ἄτυν σημαίνει τῷ Κροίσῳ ὁ ὄνειρος, ὡς ἀπολέει μιν αἰχμῇ σιδηρέῃ βληθέντα. ὁ δὲ ἐπείτε ἐξηγέρθη καὶ ἑωυτῷ λόγον ἔδωκε, καταρρωδήσας τὸν ὄνειρον ἄγεται μὲν τῷ παιδὶ γυναῖκα, ἐωθότα δὲ στρατηγέειν μιν τῶν Λυδῶν οὐδαμῇ ἔτι ἐπὶ τοιοῦτο πρῆγμα ἐξέπεμπε, ἀκόντια δὲ καὶ δοράτια καὶ τά τοιαῦτα πάντα τοῖσι χρέωνται ἐς πόλεμον ἄνθρωποι, ἐκ τῶν ἀνδρεώνων ἐκκομίσας ἐς τοὺς θαλάμους συνένησε, μή τί οἱ κρεμάμενον τῷ παιδὶ ἐμπέσῃ.

Adrastos, die per ongeluk zijn broer heeft gedood, komt naar Sardes en wordt door Kroisos gereinigd.
Het land van de Mysiërs wordt geteisterd door een wild zwijn. De Mysiërs willen dat Kroisos' zoon de leiding van de jacht op zich neemt. Kroisos weigert zijn zoon mee te laten gaan. Kroisos' zoon protesteert tegen deze beslissing.

Ἀμείβεται Κροῖσος τοισίδε· "Ὦ παῖ, οὔτε δειλίην οὔτε ἄλλο οὐδὲν ἄχαρι παριδών τοι ποιέω ταῦτα, ἀλλά μοι ὄψις ὀνείρου ἐν τῷ ὕπνῳ ἐπιστᾶσα ἔφη σε ὀλιγοχρόνιον ἔσεσθαι, ὑπὸ γὰρ αἰχμῆς σιδηρέης ἀπολέεσθαι. πρὸς ὦν τὴν ὄψιν ταύτην τόν τε γάμον τοι τοῦτον ἔσπευσα καὶ ἐπὶ τὰ παραλαμβανόμενα οὐκ ἀποπέμπω, φυλακὴν ἔχων, εἴ κως δυναίμην ἐπὶ τῆς ἐμῆς σε ζόης διακλέψαι. εἷς γάρ μοι μοῦνος τυγχάνεις ἐὼν παῖς· τὸν γὰρ δὴ ἕτερον διεφθαρμένον οὐκ εἶναί μοι λογίζομαι."

Ἀμείβεται ὁ νεηνίης τοισίδε· "Συγγνώμη μὲν ὦ πάτερ τοι, ἰδόντι γε ὄψιν τοιαύτην, περὶ ἐμὲ φυλακὴν ἔχειν· τὸ δὲ οὐ μανθάνεις, ἀλλὰ λέληθέ σε τὸ ὄνειρον, ἐμέ τοι δίκαιόν ἐστι φράζειν. φῄς τοι τὸ ὄνειρον ὑπὸ αἰχμῆς σιδηρέης φάναι ἐμὲ τελευτήσειν· ὑὸς δὲ κοῖαι μέν εἰσι χεῖρες, κοίη δὲ αἰχμὴ σιδηρέη τὴν σὺ φοβέαι; εἰ μὲν γὰρ ὑπὸ ὀδόντος τοι εἶπε τελευτήσειν με, ἢ ἄλλου τευ ὅ τι τούτῳ οἶκε, χρῆν δή σε ποιέειν τὰ ποιέεις· νῦν δὲ ὑπὸ αἰχμῆς. ἐπείτε ὦν οὐ πρὸς ἄνδρας ἡμῖν γίνεται ἡ μάχη, μέθες με."

Ἀμείβεται Κροῖσος· "Ὦ παῖ, ἔστι τῇ με νικᾷς γνώμην ἀποφαίνων περὶ τοῦ ἐνυπνίου· ὡς ὦν νενικημένος ὑπὸ σέο μεταγινώσκω, μετίημί τέ σε ἰέναι ἐπὶ τὴν ἄγρην."

Εἴπας δὲ ταῦτα ὁ Κροῖσος μεταπέμπεται τὸν Φρύγα Ἄδρηστον, ἀπικομένῳ δέ οἱ λέγει τάδε· "Ἄδρηστε, ἐγώ σε συμφορῇ πεπληγμένον ἀχάριτι, τήν τοι οὐκ ὀνειδίζω, ἐκάθηρα καὶ οἰκίοισι ὑποδεξάμενος ἔχω παρέχων πᾶσαν δαπάνην. νῦν ὦν, - ὀφείλεις γὰρ ἐμεῦ προποιήσαντος χρηστὰ ἐς σὲ χρηστοῖσί με ἀμείβεσθαι,- φύλακα παιδός σε τοῦ ἐμοῦ χρηΐζω γενέσθαι ἐς ἄγρην ὁρμωμένου, μή τινες κατ' ὁδὸν κλῶπες κακοῦργοι ἐπὶ δηλήσι φανέωσι ὑμῖν. πρὸς δὲ τούτῳ καὶ σέ τοι χρεόν ἐστι ἰέναι ἔνθα ἀπολαμπρυνέαι τοῖσι ἔργοισι· πατρώιόν τε γάρ τοί ἐστι καὶ προσέτι ῥώμη ὑπάρχει."

Ἀμείβεται ὁ Ἄδρηστος· "Ὦ βασιλεῦ, ἄλλως μὲν ἔγωγε ἂν οὐκ ἤια ἐς ἄεθλον τοιόνδε· οὔτε γὰρ συμφορῇ τοιῇδε κεχρημένον οἰκός ἐστι ἐς ὁμήλικας εὖ πρήσσοντας ἰέναι, οὔτε τὸ βούλεσθαι πάρα, πολλαχῇ τε ἂν ἶσχον ἐμεωυτόν. νῦν δέ, ἐπείτε σὺ σπεύδεις καὶ δεῖ τοι χαρίζεσθαι (ὀφείλω γάρ σε ἀμείβεσθαι χρηστοῖσι), ποιέειν εἰμὶ ἕτοιμος ταῦτα, παῖδά τε σόν, τὸν διακελεύεαι φυλάσσειν, ἀπήμονα τοῦ φυλάσσοντος εἵνεκεν προσδόκα τοι ἀπονοστήσειν."



Beschikbaar gesteld door Stichting Studiebegeleiding Leiden (SSL).
Voor alle eindexamens, zie www.alleexamens.nl. Voor de perfecte voorbereiding op je eindexamen, zie www.sslleiden.nl.

Τοιούτοισι ἐπείτε οὗτος ἀμείψατο Κροῖσον, ἤισαν μετὰ ταῦτα ἐξηρτυμένοι λογάσι τε νεηνίῃσι καὶ κυσί. ἀπικόμενοι δὲ ἐς τὸν Ὄλυμπον τὸ ὄρος ἐζήτεον τὸ θηρίον, εὑρόντες δὲ καὶ περιστάντες αὐτὸ κύκλῳ ἐσηκόντιζον. ἔνθα δὴ ὁ ξεῖνος, οὗτος δὴ ὁ καθαρθεὶς τὸν φόνον, καλεόμενος δὲ Ἄδρηστος, ἀκοντίζων τὸν ὗν τοῦ μὲν ἁμαρτάνει, τυγχάνει δὲ τοῦ Κροίσου παιδός. ὁ μὲν δὴ βληθεὶς τῇ αἰχμῇ ἐξέπλησε τοῦ ὀνείρου τὴν φήμην, ἔθεε δέ τις ἀγγελέων τῷ Κροίσῳ τὸ γεγονός, ἀπικόμενος δὲ ἐς τὰς Σάρδις τὴν τε μάχην καὶ τὸν τοῦ παιδὸς μόρον ἐσήμηνέ οἱ.

Ὁ δὲ Κροῖσος τῷ θανάτῳ τοῦ παιδὸς συντεταραγμένος μᾶλλόν τι ἐδεινολογέετο ὅτι μιν ἀπέκτεινε τὸν αὐτὸς φόνου ἐκάθηρε. περιημεκτέων δὲ τῇ συμφορῇ δεινῶς ἐκάλεε μὲν Δία καθάρσιον, μαρτυρόμενος τὰ ὑπὸ τοῦ ξείνου πεπονθὼς εἴη, ἐκάλεε δὲ ἐπίστιόν τε καὶ ἑταιρήιον, τὸν αὐτὸν τοῦτον ὀνομάζων θεόν, τὸν μὲν ἐπίστιον καλέων, διότι δὴ οἰκίοισι ὑποδεξάμενος τὸν ξεῖνον φονέα τοῦ παιδὸς ἐλάνθανε βόσκων, τὸν δὲ ἑταιρήιον, ὡς φύλακα συμπέμψας αὐτὸν εὑρήκοι πολεμιώτατον.

Παρῆσαν δὲ μετὰ τοῦτο οἱ Λυδοὶ φέροντες τὸν νεκρόν, ὄπισθε δὲ εἵπετό οἱ ὁ φονεύς. στὰς δὲ οὗτος πρὸ τοῦ νεκροῦ παρεδίδου ἑωυτὸν Κροίσῳ προτείνων τὰς χεῖρας, ἐπικατασφάξαι μιν κελεύων τῷ νεκρῷ, λέγων τήν τε προτέρην ἑωυτοῦ συμφορήν, καὶ ὡς ἐπ’ ἐκείνῃ τὸν καθήραντα ἀπολωλεκὼς εἴη, οὐδέ οἱ εἴη βιώσιμον. Κροῖσος δὲ τούτων ἀκούσας τόν τε Ἄδρηστον κατοικτίρει, καίπερ ἐὼν ἐν κακῷ οἰκηίῳ τοσούτῳ, καὶ λέγει πρὸς αὐτόν· “Ἔχω, ὦ ξεῖνε, παρὰ σεῦ πᾶσαν τὴν δίκην, ἐπειδὴ σεωυτοῦ καταδικάζεις θάνατον. εἶς δὲ οὐ σύ μοι τοῦδε τοῦ κακοῦ αἴτιος, εἰ μὴ ὅσον ἀέκων ἐξεργάσαο, ἀλλὰ θεῶν κού τις, ὅς μοι καὶ πάλαι προεσήμαινε τὰ μέλλοντα ἔσεσθαι.” Κροῖσος μέν νυν ἔθαψε, ὡς οἰκὸς ἦν, τὸν ἑωυτοῦ παῖδα· Ἄδρηστος δὲ ὁ Γορδίεω τοῦ Μίδεω, οὗτος δὴ ὁ φονεὺς μὲν τοῦ ἑωυτοῦ ἀδελφεοῦ γενόμενος, φονεὺς δὲ τοῦ καθήραντος, ἐπείτε ἡσυχίη τῶν ἀνθρώπων ἐγένετο περὶ τὸ σῆμα, συγγινωσκόμενος ἀνθρώπων εἶναι τῶν αὐτὸς ᾔδεε βαρυσυμφορώτατος, ἐπικατασφάζει τῷ τύμβῳ ἑωυτόν.

*Herodotos, Historiën I, 34 en 38-45*



Beschikbaar gesteld door Stichting Studiebegeleiding Leiden (SSL).
Voor alle eindexamens, zie www.alleexamens.nl. Voor de perfecte voorbereiding op je eindexamen, zie www.sslleiden.nl.

## Tekst 2

In vervulling ging ook het droomgezicht dat koning Kroisos eerst grote angst en later verdriet bezorgde. Hij droomde namelijk dat de slimste en de sterkste van zijn twee zonen, zijn beoogde opvolger Atys, hem door geweld was ontnomen. Daarom liet hij uit vaderlijke voorzorg niets ongedaan om het bittere verdriet van de aangekondigde dood af te wenden. De jongeman werd vaak uitgestuurd op militaire expedities; nu werd hij thuis gehouden. Hij had een arsenaal vol met alle mogelijke wapens; ook dat werd in opdracht van de vader opgeruimd. Hij had een gewapende lijfwacht; die mocht nu niet te dicht meer bij hem komen.

*Valerius Maximus I, 7.4*

---

## Tekst 3

In de roman *Gloed* van Sándor Márai komt de volgende passage voor:

“Want de dingen overkomen ons niet alleen maar”, zegt hij nu met meer gedecideerdheid en hij heft zijn hoofd. (...) “De mens doet het ook zelf, wat hem overkomt. Hij maakt datgene wat er moet gebeuren, roept het naar zich toe en laat het niet los. Zo is de mens. Hij doet het ook als hij meteen vanaf het allereerste ogenblik weet dat het fataal is wat hij doet. Ze houden elkaar vast, de mens en zijn lot, ze roepen elkaar op en scheppen elkaar. Het is niet waar dat het noodlot ons leven binnentreedt. Nee. Het noodlot komt door de deur naar binnen, die we zelf geopend hebben, terwijl we het noodlot beleefd voor hebben laten gaan. Er is geen mens die sterk en slim genoeg is om met woord of daad het onheil af te wenden.

---

## Tekst 4

Zo sprak Artabanos, maar Xerxès werd boos en antwoordde: “Artabanos, ge zijt de broeder van mijn vader en dat zal u ervoor behoeden uw verdiende loon te krijgen voor uw dwaze woorden. Maar wel doe ik u de schande aan, omdat ge laf zijt en het u aan fierheid ontbreekt, dat ge niet met mij de veldtocht tegen Griekenland moogt meemaken, maar hier moet achterblijven bij de vrouwen; ook zonder u zal ik alles wat ik gezegd heb volbrengen. Ik zou niet zijn de zoon van Dareios, de zoon van Hystaspès, de zoon van Arsamès, de zoon van Ariaramnès, de zoon van Teïspès, en de nazaat van Kyros, de zoon van Kambysès, de zoon van Teïspès, de zoon van Achaimenès, als ik geen wraak nam op de Atheners, want ik weet zeker, dat, ook al houden wij ons rustig, zij dat niet zullen doen. Neen, dan zullen zij eerst recht tegen ons land oprukken, als wij mogen afgaan op wat er reeds eerder door hen ondernomen is: Sardeis hebben ze immers in brand gestoken en naar Azië zijn zij opgerukt! Er is dus voor geen van beide partijen meer een terugwijken mogelijk, maar de keuze is: handelen of lijden, opdat óf dit alles onder Griekse óf dat alles onder Perzische heerschappij komt, want deze vijandschap laat geen enkele middenweg open. Het is dus onze ereplicht ons te wreken, omdat wij het eerst onrecht hebben geleden; dan kan ik eens kennismaken met dat gevaar, dat ik zal lopen, als ik ten strijde trek tegen die mannen, die door de Phrygiër Pelops, die een slaaf was van mijn voorvaderen, zo grondig zijn onderworpen, dat tot het huidige ogenblik de mensen zelf evengoed als hun land de naam dragen van hun onderwerper.”

Ταῦτα μὲν ἐπὶ τοσοῦτο ἐλέγετο, μετὰ δὲ εὐφρόνη τε ἐγίνετο καὶ Ξέρξην ἔκνιζε ἡ Ἀρταβάνου γνώμη· νυκτὶ δὲ βουλὴν διδοὺς πάγχυ εὕρισκέ οἱ οὐ πρῆγμα εἶναι στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. δεδογμένων δέ οἱ αὖτις τούτων κατύπνωσε, καὶ δή κου ἐν τῇ νυκτὶ εἶδε ὄψιν τοιήνδε, ὡς λέγεται ὑπὸ Περσέων· ἐδόκεε ὁ Ξέρξης ἄνδρα οἱ ἐπιστάντα μέγαν τε καὶ εὐειδέα εἰπεῖν· “Μετὰ δὴ βουλεύεαι, ὦ Πέρσα, στράτευμα μὴ ἄγειν ἐπὶ τὴν Ἑλλάδα, προείπας ἁλίζειν Πέρσῃσι στρατόν;



Beschikbaar gesteld door Stichting Studiebegeleiding Leiden (SSL).
Voor alle eindexamens, zie www.alleexamens.nl. Voor de perfecte voorbereiding op je eindexamen, zie www.sslleiden.nl.

οὔτε ὦν μεταβουλευόμενος ποιέεις εὖ, οὔτε ὁ συγγνωσόμενός τοι πάρα· ἀλλ’ ὥσπερ τῆς ἡμέρης ἐβουλεύσαο ποιέειν, ταύτην ἴθι τῶν ὁδῶν.”

Τὸν μὲν ταῦτα εἴπαντα ἐδόκεε ὁ Ξέρξης ἀποπτάσθαι, ἡμέρης δὲ ἐπιλαμψάσης ὀνείρου μὲν τούτου λόγον οὐδένα ἐποιέετο, ὁ δὲ Περσέων συναλίσας τοὺς καὶ πρότερον συνέλεξε, ἔλεγέ σφι τάδε· “Ἄνδρες Πέρσαι, συγγνώμην μοι ἔχετε ὅτι ἀγχίστροφα βουλεύομαι· φρενῶν τε γὰρ ἐς τὰ ἐμεωυτοῦ πρῶτα οὔκω ἀνήκω, καὶ οἱ παρηγορεόμενοι ἐκεῖνα ποιέειν οὐδένα χρόνον μευ ἀπέχονται. ἀκούσαντι μέντοι μοι τῆς Ἀρταβάνου γνώμης παραυτίκα μὲν ἡ νεότης ἐπέζεσε, ὥστε ἀεικέστερα ἀπορρῖψαι ἔπεα ἐς ἄνδρα πρεσβύτερον ἢ χρεόν· νῦν μέντοι συγγνοὺς χρήσομαι τῇ ἐκείνου γνώμῃ. ὡς ὦν μεταδεδογμένον μοι μὴ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, ἥσυχοι ἔστε.”

Πέρσαι μὲν ὡς ἤκουσαν ταῦτα, κεχαρηκότες προσεκύνεον· νυκτὸς δὲ γενομένης αὖτις τὠυτὸ ὄνειρον τῷ Ξέρξῃ κατυπνωμένῳ ἔλεγε ἐπιστάν· “Ὦ παῖ Δαρείου, καὶ δὴ φαίνεαι ἐν Πέρσῃσί τε ἀπειπάμενος τὴν στρατηλασίην καὶ τὰ ἐμὰ ἔπεα ἐν οὐδενὶ ποιεύμενος λόγῳ ὡς παρ’ οὐδενὸς ἀκούσας; εὖ νυν τόδ’ ἴσθι· ἤν περ μὴ αὐτίκα στρατηλατέῃς, τάδε τοι ἐξ αὐτῶν ἀνασχήσει· ὡς καὶ μέγας καὶ πολλὸς ἐγένεο ἐν ὀλίγῳ χρόνῳ, οὕτω καὶ ταπεινὸς ὀπίσω κατὰ τάχος ἔσεαι.”

Xerxès sprong hevig geschrokken door de droom uit zijn bed en stuurde een boodschapper naar Artabanos.

Ὁρμημένῳ δὲ Ξέρξῃ στρατηλατέειν μετὰ ταῦτα τρίτη ὄψις ἐν τῷ ὕπνῳ ἐγένετο, τὴν οἱ Μάγοι ἔκριναν ἀκούσαντες φέρειν τε ἐπὶ πᾶσαν γῆν δουλεύσειν τέ οἱ πάντας ἀνθρώπους. ἡ δὲ ὄψις ἦν ἥδε· ἐδόκεε ὁ Ξέρξης ἐστεφανῶσθαι ἐλαίης θαλλῷ, ἀπὸ δὲ τῆς ἐλαίης τοὺς κλάδους γῆν πᾶσαν ἐπισχεῖν, μετὰ δὲ ἀφανισθῆναι περὶ τῇ κεφαλῇ κείμενον τὸν στέφανον. κρινάντων δὲ ταῦτα τῶν Μάγων, Περσέων τε τῶν συλλεχθέντων αὐτίκα πᾶς ἀνὴρ ἐς τὴν ἀρχὴν τὴν ἑωυτοῦ ἀπελάσας εἶχε προθυμίην πᾶσαν ἐπὶ τοῖσι εἰρημένοισι, θέλων αὐτὸς ἕκαστος τὰ προκείμενα δῶρα λαβεῖν, καὶ Ξέρξης τοῦ στρατοῦ οὕτω ἐπάγερσιν ποιέεται, χῶρον πάντα ἐρευνῶν τῆς ἠπείρου.

*Herodotos, Historiën VII, 11-15 en 19 (vertaling O. Damsté)*



Beschikbaar gesteld door Stichting Studiebegeleiding Leiden (SSL).
Voor alle eindexamens, zie www.alleexamens.nl. Voor de perfecte voorbereiding op je eindexamen, zie www.sslleiden.nl.

## Tekst 5

DARIUS:

Ach, snel werden de orakels werkelijkheid, want op mijn zoon
slingerde Zeus de voltrekking van de godsspraken neer. En in mijn waan
dacht ik dat de goden dat pas na lange tijd voltrekken zouden.
Maar, wanneer iemand zelf zich rept, dan helpt de god een handje mee.
Nu schijnt er een bron van rampen voor al mijn geliefden te zijn aangeboord.
Zonder dat hij dat wist bracht mijn zoon dat teweeg in zijn jeugdige overmoed.
Hij die de verwachting had de heilige Hellespont als een slaaf
in de boeien te zullen houden, stromend, Bosporus, stroom van een god.
Hij probeerde de zeestraat om te vormen, creëerde een grote weg
voor een grote troepenmacht door met vastgehamerde krammen het wa-
ter te omvatten. Hij dacht in zijn naïveteit dat hij, een sterveling,
sterker zou zijn dan alle goden en Poseidon. Mijn zoon moet
zijn verstand verloren hebben. Mijn rijkdom, vrucht van zwaar gezwoeg,
zal, naar ik vrees, ten prooi vallen aan de eerste de beste sterveling.

KONINGIN:

Dat soort dingen leert onstuimige Xerxes door zijn omgang met
kwaadwillende mensen. Want zij zeggen dat jij met je lans
grote rijkdom voor je kinderen verwierf, maar hij, uit laf-
heid, zijn lans in huis hanteert en zijn vaders rijkdom niet vergroot.
Dergelijke schimpen telkens horend van kwaadwillende mensen,
nam hij het besluit tot deze veldtocht tegen Griekenland.

*Aischylos, Perzen 739-758 (vertaling H. Altena)*

---

## Tekst 6

-Magiërs! glimlachte Xerxes. Zegt mij wat beduidt mijn droom van déze nacht?

En hij vertelde zijn droom. Een olijvetwijg had hem het hoofd omkranst en zich toen met twijgen verbreed over geheel de wereld. En toen... was de krans verdwenen...

De Magiërs, zonder elkaar zelfs met de blik te raadplegen, riepen allen, drie maal negen hun aantal, uit:

- De Wereld-almacht!

Xerxes schrikte van de klank hunner stemmen. Het was of hun zeven-en-twintig stemmen éen stem waren.

Terwijl Xerxes verschrikt nog stond, wendden de Magiërs hun gepuntmutste hoofden om en schreden voorwaarts naar de vergaderzaal. Die was donker. Geheel ingesloten in de massa der paleisgebouwen was de Magiërzaal donker. Daarom zag ook geen der Magiërs, dat iedere Magiër een bittere grijns grimlachte om de gekrulde baard. En zwijgend traden zij de donkere zaal binnen en grijnsgrimlachten.

De zaal was wijd, als een nacht, een donkere nacht. En er stond geen beeld of altaar in want de Perzen stichtten hun goden altaren noch beelden en zelfs geen tempels, den volke toegankelijk.

Maar zodra de Magiërs hun eigene nachtwijde en donkere heiligdom binnen traden, klaarde het op als door een wonder van geheimzinnig licht.

Toen zagen de Magiërs elkanders grimlachende grijns.

En zij schrikten hevig en wierpen ter aarde zich voor het grote ronde Oog van Ormoezd, dat straalde aan het einde des heiligdoms.

En zij riepen allen, met éen stem: - Genade voor Perzië, o God

*L. Couperus, Xerxes*



Beschikbaar gesteld door Stichting Studiebegeleiding Leiden (SSL).
Voor alle eindexamens, zie www.alleexamens.nl. Voor de perfecte voorbereiding op je eindexamen, zie www.sslleiden.nl.

## Tekst 7

De Perzische koning Kambyses heeft de Egyptische koning Amasis om de hand van zijn dochter gevraagd. Amasis is bepaald niet blij met dit verzoek.

Amasis, die met zorg en angst aan de macht der Perzen dacht, wist niet of hij haar moest afstaan of weigeren. Εὖ γὰρ ἠπίστατο ὅτι οὐκ ὡς γυναῖκά μιν ἔμελλε Καμβύσης ἕξειν ἀλλ’ ὡς παλλακήν. Ταῦτα δὴ ἐκλογιζόμενος ἐποίησε τάδε· ἦν Ἀπρίεω τοῦ προτέρου βασιλέος θυγάτηρ κάρτα μεγάλη τε καὶ εὐειδής, μούνη τοῦ οἴκου λελειμμένη, οὔνομα δέ οἱ ἦν Νίτητις. Ταύτην δὴ τὴν παῖδα ὁ Ἄμασις κοσμήσας ἐσθῆτί τε καὶ χρυσῷ ἀποπέμπει ἐς Πέρσας ὡς ἑωυτοῦ θυγατέρα.

Μετὰ δὲ χρόνον ὥς μιν ἠσπάζετο Καμβύσης πατρόθεν ὀνομάζων, λέγει πρὸς αὐτὸν ἡ παῖς· “Ὦ βασιλεῦ, διαβεβλημένος ὑπὸ Ἀμάσιος οὐ μανθάνεις, ὅς ἐμὲ σοὶ κόσμῳ ἀσκήσας ἀπέπεμψε ὡς ἑωυτοῦ θυγατέρα διδούς, ἐοῦσαν τῇ ἀληθείῃ Ἀπρίεω, τὸν ἐκεῖνος ἐόντα ἑωυτοῦ δεσπότεα ἐπαναστὰς ἐφόνευσε.”

Τοῦτο δὴ τὸ ἔπος καὶ αὕτη ἡ αἰτίη ἐγγενομένη ἤγαγε Καμβύσεα τὸν Κύρου μεγάλως θυμωθέντα ἐπ’ Αἴγυπτον. Οὕτω μέν νυν λέγουσι Πέρσαι.

*Herodotos, Historiën III, 1*

*Aantekeningen*

*regel 2* μιν *Bedoeld wordt Amasis’ dochter.*

*regel 3* ἕξειν behandelen
ἡ παλλακή bijvrouw / haremvrouw

*regel 4* ὁ Ἀπρίης, *genitivus* Ἀπρίεω Apriës *(eigennaam)*
βασιλέος = βασιλέως

*regel 5* ὁ οἶκος familie
λελειμμένη in leven gebleven *Amasis had de rest van haar familie uitgemoord.*
οἱ = αὐτῇ

*regel 6* ἑωυτοῦ = ἑαυτοῦ

*regel 7* ὥς toen *(voegwoord)*
πατρόθεν ὀνομάζω noemen bij de naam van de vader *(bv: “dochter van Amasis”)*

*regel 8* διαβεβλημένος μανθάνεις u begrijpt dat u bedrogen bent

*regel 9* ὁ κόσμος kostbaarheden
ἑωυτοῦ = ἑαυτοῦ
ἐοῦσαν *Sluit aan bij* ἐμέ
ὁ Ἀπρίης, *genitivus* Ἀπρίεω Apriës *(eigennaam)*

*regel 10* ἑωυτοῦ = ἑαυτοῦ *Bedoeld wordt Amasis.*
ἐπανίσταμαι in opstand komen

*regel 11* ἐγγενόμενος concreet
ἄγω stimuleren tot een veldtocht

*regel 12* μέν νυν althans

**Einde**



Beschikbaar gesteld door Stichting Studiebegeleiding Leiden (SSL).
Voor alle eindexamens, zie www.alleexamens.nl. Voor de perfecte voorbereiding op je eindexamen, zie www.sslleiden.nl.